Μυχόν] μυχὸς, ἢ μῦχος, ἐντότατος τόπος. μυχὸς δὲ οἰστροδίνητος (οὕτω γὰρ παρὰ τῷ Σουΐδᾳ) ὁ ὑπὸ τῶν ἀνέμων ἐλαυνόμενος. οἶστρος γὰρ, ἐρεθισμὸς, ἔκκαυσις, πύρωσις ἐμμανής. καὶ οἶστρον καλοῦσι πᾶσαν κίνησιν. καὶ οἶστρος, ἐρεθισμὸς, ὁ λεγόμενος μύα. μανία ἀφροδισίων, λύσσα, φόβος, καὶ εἶδος πτηνοῦ, ὑφ' οὗ αἱ βοῦς κεντιζόμεναι σκιρτῶσιν, ὃ μύωψ καλεῖται. Ἡσύχιος. ἀλλὰ καὶ τὸ οἰστροδόνητον, καὶ τὸ οἰστροδίνητον ταυτόν. τὸ μὲν παρὰ τὸ δονεῖν, τὸ δὲ παρὰ τὸ δινεῖν. ἀμφότερα δὲ ταῦτα τὸ κινεῖν δηλοῦσι. Ὀρείπλαγκτοι] ἐν τοῖς ὄρεσι πλανώμεναι. παρὰ τὸ πλάζεσθαι, τὸ πλανᾶσθαι. Εὔχεσθε] στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι κά. ὧν ὁ τελευταῖος, Εὔχεσθε πάσαις. Εἴ τις ἐπιβουλεύει] εἴ τις κακόν τι βουλεύει κατὰ τοῦ δήμου. ἢ, εἴ τις κακόν τι τῷ δήμῳ κατ' ἐπιβουλὴν μηχανᾶται. Ἐπικηρυκεύεται] διὰ κήρυκός τινος συνθήκας τινὰς, ἢ πρεσβείας ποιεῖται, ἢ φιλίαν σπένδει. Τύραννον συγκατάγειν] τύραννόν τινα ἤδη ἐκβεβλημένον εἰς τὴν πατρίδα πάλιν ἐπανάγειν, καὶ ἀποκαθιστάναι. Κατεῖπεν] Σ. κατηγόρησεν. προαγωγὸς δὲ, διδάσκαλος κακῶν, μαστροπὸς, μαυλιστὴς, πορνοβοσκός. Ἡσύχιος. ἀρσενικῶς δὲ, καὶ θηλυκῶς λέγεται.

Προαγωγὸς οὖσ' ἐνεθρύλλισεν τῷ δεσπότῃ.
Ἢ πεμπομένη τις ἀγγελίας ψευδεῖς φέρει.
Ἢ μοιχὸς εἴ τις ἐξαπατᾷ ψευδῆ λέγων.
C Καὶ μὴ δίδωσιν ἃ ἂν ὑπόσχηταί ποτε.
Ἢ δωρά τις δίδωσι μοιχῷ γραῦς γυνή.
Ἢ καὶ δέχεται προδιδοῦσ' ἑταίρα τὸν φίλον.
Κεἴ τις κάπηλος, ἢ καπηλὶς τοῦ χοὸς
Ἢ τῶν κοτυλῶν τὸ νόμισμα διαλυμαίνεται
Κακῶς ἀπολέσθαι τοῦτον αὐτὸν κ' οἰκίαν
D Ἀρᾶσθε. ταῖς δ' ἄλλαισιν ὑμῖν τοῖς θεοὺς
Εὔχεσθε πάσαις πολλὰ δοῦναι κἀγαθά.
Χο. Ξυνευχόμεσθα τέλεα μὲν
Πόλει, τέλεα τε δήμῳ
Τὰ δ' εὔγματα γενέσθαι.
Τὰ δ' ἄρισθ' ὅσαις προσήκει
Νικᾶν λεγούσαις, ὁπόσαι
Δ' ἐξαπατῶσι παραβαίνου-
E Σί τε τοὺς ὅρκους
Τοὺς νενομισμένους
Κερδῶν ἕνεκ' ἐπὶ βλάβῃ,
Ἢ ψηφίσματα καὶ νόμον
Ζητοῦσ' ἀντιμεθιστάναι,
Τἀπόρρητά τε τοῖσιν ἐ-
χθροῖς ἡμετέροις λέγουσιν,
Ἢ Μήδους ἐπάγουσι τῆς
Χώρας οὕνεκ' ἐπὶ βλάβῃ.
F Ἀσεβοῦσιν, ἀδικοῦσίν τε τὴν
Πόλιν. ἀλλ' ὦ παγκρατὲς

*Læna inuulgauit domino:*
*Vel missa aliqua nuncios falsos affert,*
*Vel adulter si quis decipit falsa dicens.*
*Et non dederit, quæ pollicitus fuerit vnquam:*
*Vel dona aliqua dederit adultero anus mulier,*
*Vel etiam accipit prodens meretrix amicum:*
*Et si quis caupo, vel cauponis uxor mensuram,*
*Vel heminarum institutum & morem lædit,*
*Malè perire hunc ipsum & domum*
*Precamini. reliquis verò vobis deos*
*Precamini omnibus multa dare bona.*
CHO. *Simul precamur ratas quidem*
*Vrbi, perfectásque populo*
*Has preces fieri.*
*Et fieri quoque ratas, optima quibuscunque conuenit,*
*Vincere dicentibus & consulétibus. & fieri ratas his quæcunque*
*Decipiunt, violantq́ue fœdera & iuramenta*
*Sancita ac constituta legibus*
*Lucrorum causa in damnum.*
*Vel decreta & legem*
*Quærunt immutare,*
*Arcanáque*
*Hostibus nostris dicunt.*
*Vel Persas inducunt*
*In regionem nostram: quoniam in detrimentum,*
*Impiè se gerunt, iniuriáque afficiunt*
*Ciuitatem. Sed ô omnipotens*

BOVRDINVS. Προαγωγός.] τουτέστιν, ἡ προάγουσα τίνα γυναῖκα πορνευομένην, καὶ διδάσκαλος πορνείας οὖσα κακῶν. Ἐνεθρύλλισεν.] ἐνεψιθύρισεν, ἀσήμως καὶ λάθρα ἐλάλησε. Τοῦ χοὸς.] χοῦς μέτρον ἀττικὸν χωροῦν ὀκτὼ κοτύλας. κοτύλη δὲ ἡμίξεστον λέγεται. παρὰ τὸ ἐκεῖ κεῖσθαι τὴν ὕλην. εἶδος δ' ἐστὶ ποτηρίου ὁμωνύμου τῷ ἀγγείῳ τῷ ὑγρῷ ὡς χοῖνιξ, καὶ εἶδος τοῦ μέτρου, καὶ τὸ κοῖλον τοῦ ὀστέου ἔνθα ἡ κεφαλὴ τοῦ μηροῦ περιστρέφεται. καὶ εἶδος τοῦ ξύλου ἐφ' οὗ τὰ φόρτια βαστάζουσι, ὅπερ πρῶτος ἐφεῦρεν ὁ Πρωταγόρας. καὶ γὰρ φορτοφόρος ἦν. Τὸ νόμισμα.] τὸ μέτρισμα. ἀκύρως δὲ τούτῳ τῷ ὀνόματι χρῆται. Διαλυμαίνεται.] διαφθείρει καὶ παραβόλως ἀπατηλῶς τε διαστρέφει. Ἀρᾶσθε.] κακὰ εὔχεσθε ἐκείνῳ. Νενομισμένους.] τεταγμένους, ὡρισμένους. Ἀντιμεθιστάναι.] ἀντιμεταβάλλειν καὶ μετατιθέναι, μετακινεῖν τε.

BISET. Ἐνεθρύλλισεν] ἐνθρυλλίζειν καὶ ἐνθρυλλεῖν ταυτόν. διαφημίζειν. Τὸ νόμισμα] τὸ δίκαιον, καὶ τὸ κατὰ τοὺς πατρίους νόμους μέτρον ταχθὲν, ὃ παραβαίνειν, καὶ διαφθείρειν οὐ θέμις. τὸ μέτρον τὸ νενομισμένον. Ξυνευχόμεθα] στίχοι μικτοὶ κ'. ὧν ὁ τελευταῖος, Καίπερ γυναιξὶν οὔσαις. Τάδ' εὔγματα] τάσδε, ταύτας τὰς εὐχάς.